πιμπρᾶσί σ᾽, ἡμᾶς δ᾽ ἐξάγουσ᾽ ἤδη χθονὸς
δούλας· ἰὼ θεοί. καὶ τί τοὺς θεοὺς καλῶ;
καὶ πρὶν γὰρ οὐκ ἤκουσαν ἀνακαλούμενοι.
φέρ᾽ ἐς πυρὰν δράμωμεν, ὡς κάλλιστά μοι
σὺν τῇδε πατρίδι κατθανεῖν πυρουμένῃ.
ΤΑ. ἐνθουσιᾷς, δύστηνε, τοῖς σαυτῆς κακοῖς·
ἀλλ᾽ ἄγετε, μὴ φείδεσθ᾽· Ὀδυσσέως δὲ χρὴ
ἐς χεῖρα δοῦναι τήνδε καὶ πέμπειν γέρας.
ΕΚ. ὀτοτοτοτοτοτοῖ. στρ. α΄.
Κρόνιε, πρύτανι Φρύγιε, γενέτα πάτερ,
ἀνάξια Δαρδάνου
γονᾶς τάδ᾽ οἷα πάσχομεν δέδορκας;
ΧΟ. δέδορκεν, ἁ δὲ μεγαλόπολις
ἄπολις ὄλωλεν οὐδ᾽ ἔτ᾽ ἔστι Τροία.
ΕΚ. ὀτοτοτοτοτοτοῖ. ἀντ. α΄.
λέλαμπεν Ἴλιος, Περγάμων
τε πυρὶ καταίθεται
πόλις τέρεμνα τειχέων *κατάκρας.
ΧΟ. πτέρυγι δὲ καπνὸς ὥς τις οὐ-
ράνια πεσοῦσα δορὶ καταφθίνει γᾶ.
μαλερὰ μέλαθρα πυρὶ κατάδρομα μεσῳδ.
δαΐῳ τε λόγχᾳ.
ΕΚ. ὦ τέκνα, κλύετε, μάθετε ματρὸς αὐδάν. στρ. β΄.
ΧΟ. ἰαλέμῳ τοὺς θανόντας ἀπύεις.
ΕΚ. γεραιά τ᾽ ἐς πέδον τιθεῖσα μέλεα,
καὶ χερσὶ γαῖαν κτυποῦσα δισσαῖς.
ΧΟ. διάδοχά σοι γόνυ τίθημι γαίᾳ,
τοὺς ἐμοὺς καλοῦσα νέρθεν
ἀθλίους ἀκοίτας.
ΕΚ. ἀγόμεθα, φερόμεθ᾽ ΧΟ. ἄλγος ἄλγος βοᾷς
ΕΚ. δούλειον ὑπὸ μέλαθρον ἐκ πάτρας γ᾽ ἐμᾶς.
ἰώ.
Πρίαμε Πρίαμε, σὺ μὲν ὀλόμενος
ἄταφος, ἄφιλος, ἄτας ἐμᾶς ἄϊστος εἶ.
ΧΟ. μέλας γὰρ ὄσσε κατεκάλυψε
θάνατος ὅσιον ἀνοσίαις σφαγαῖσιν.